VERSION GRECQUE. (Juillet 1862.)

Δοκεῖ ἡ παιδεία, καὶ τοῦτο πάντες ὁμολογοῦσιν, ἡμεροῦν τὰς ψυχὰς, ἀφαιροῦσα τὸ θηριῶδες καὶ ἄγνωμον, ὅθεν καὶ τὰ ἤθη κοινότερα μὲν καὶ ὑγρότερα γίνεσθαι. Τοῖς μὲν γὰρ πολλοῖς οὐκ ἄν τις ἴσως ἐπιτιμῴη διὰ τὸ μὴ ἔχειν ἐξουσίαν. Ὅσοι δὲ τραφέντες ἐλευθέρως, καὶ χορηγίαν ἔχοντες ἱκανὴν ὡς εἰς ὁποιονοῦν βίον ἐλθεῖν, ἄσκεπτοι περὶ τοῦ ἀρίστου τυγχάνουσι, τούτοις ἤδη δίκαιον ἐγκαλεῖν. Ἄτοπον γὰρ ὡς ἀληθῶς, εἰ, αἱρέσεως αὐτοῖς διδομένης, πόλιν μὲν ἂν ἕλοιντο τὴν ἐπιδοξοτάτην, καὶ φίλους καὶ οἰκείους τοὺς ἀρίστους, βίον δὲ ἐξὸν ἑλέσθαι τὸν ἄριστον, κάτολιγωρήσαντες τούτου, πρὸς τὸ τυχὸν τὰ ἑαυτῶν ἀποδιδοίησαν, μηδὲ εἰς αὐτὸ τὸ κρίνειν καὶ σκοπεῖν ἐλθόντες· ἀλλ' ὁδὸν μὲν βαδίζειν ἣν δέοι, ἄλλον πύθοιντ' ἂν πολλάκις καὶ ἀναζητήσειαν ἡγεμόνα, μεθ' οὗ ποιήσαντο τὴν κομιδὴν ἀσφαλῶς· ὑπὲρ δὲ τοῦ βίου παντὸς τὸ λεγόμενον δὴ τοῦτο κινδυνεύοντες, οὐδενὶ κοινωσάμενοι, πρὸς τὸ χείριστον, ἂν οὕτω τύχῃ, προσπίπτουσι.